# 15 SEPTEMBRIE
# GHERASIM MIKRAGHIANANITUL

# PARACLISUL SF.MARE MUCENIC NICHITA GOTUL



PARACLISIERUL PE SEPTEMBRIE-GR


Ο ΑΓΙΟΣ
ΝΙΚΗ
ΤΑΣ

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ

**ΝΙΚΗΤΑΝ**

ΤΟΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ

Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει

ὑπὸ

Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου

Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας

www.tezaurliturgic.ro

Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσον .... μεθ' ὃ τὸ Θεὸς Κύριος καὶ τὸ ἑξῆς

Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.....*

Τοῦ μαρτυρίου διανύσας τὸν δρόμον, Μεγαλομάρτυς Ἀθλοφόρε Νικήτα, τῇ τῶν θαυμάτων χάριτι δεδόξασαι· ὅθεν ἡμᾶς λύτρωσαι, πειρασμῶν καὶ κινδύνων, καὶ παντοίων θλίψεων, καὶ δεινῶν νοσημάτων, τοὺς προσιόντας πίστει ἀκλινεῖ, τῇ πρὸς Χριστὸν ἱκεσίᾳ σου Ἅγιε.

*Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε .........

Ὁ Ν΄ ψαλμὸς καὶ ὁ κανὼν οὗ ἡ ἀκροστιχίς.

Νίκην ἡμῖν ὦ Νικήτα δίδου. Γερασίμου.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. *Ὑγρὰν διοδεύσας.*

Νικήσας ἐν ἄθλοις τὸν δυσμενῆ, Νικήτα τρισμάκαρ, ἐκ τῆς τούτου ἐπιβουλῆς, καὶ πάσης κακίας ἀνωτέρους, ταῖς σαῖς πρεσβείαις ἡμᾶς διαφύλαττε.

Ἰσχὺν ἡμῖν δίδου κατὰ παθῶν, καὶ λύτρωσιν Μάρτυς, ἐκ κινδύνων παντοδαπῶν, καὶ λύσιν πταισμάτων, ὦ Νικήτα, ταῖς πρὸς Χριστὸν εὐπροσδέκτοις πρεσβείαις σου.

Κυρίου τῆς δόξης κατατρυφῶν, ἀπήμονας τήρει, ἐκ παντοίων ἐπιφορῶν, Νικήτα Χριστοῦ Μεγαλομάρτυς, τοὺς τῇ θερμῇ σου πρεσβείᾳ προστρέχοντας.

*Θεοτοκίον.*

Ἡ μόνη τεκοῦσα σωματικῶς τὸν πάντων Δεσπότην, εἰς ἀνάπλασιν τῶν βροτῶν, καίνισον Παρθένε τὴν ψυχήν μου, παλαιωθεῖσαν δεινοῖς πλημμελήμασι.

Ὠδὴ γ'. *Οὐρανίας ἁψῖδος.*

Νικητὰς ἡμᾶς δεῖξον, κατά παθῶν Ἅγιε, πάσης τοῦ ἐχθροῦ ἐπηρείας, ἀπολυτρούμενος, ταῖς ἱκεσίαις σου, τοὺς σὲ προστάτην Νικήτα, κεκτημένους μέγιστον, καὶ ἀντιλήπτορα.

Ἡ θερμὴ σου πρεσβεία, πρὸς τὸν Χριστὸν Ἅγιε, πάντοτε προφθάνει ὀξέως, τοὺς κινδυνεύοντας· διὸ βοῶμεν σοι· Ῥύου ἡμᾶς ἀπὸ πάσης, προσδοκίας θλίψεων, καὶ περιστάσεων.

Μέγας ὤφθης προστάτης, καὶ βοηθὸς ἕτοιμος, τοῖς εἰλικρινῶς προσιοῦσι, τῇ ἀντιλήψει σου Νικήτα ἔνδοξε· ὅθεν ἀεὶ προστατεύων, μὴ ἐλλείπῃς Ἅγιε, ἡμῶν δεόμεθα.

*Θεοτοκίον.*

Ἱλασμὸν ἡμῖν δίδου, καὶ τῶν παθῶν ἴασιν, ἡ τὸ ἱλαστήριον κόσμου, Χριστὸν κυήσασα, Παρθένε Ἄχραντε, καὶ τὸν δεινῶς ἐφορμῶντα, καθ' ἡμῶν κατάβαλε, δόλιον δράκοντα.

Διάσωσον Μεγαλομάρτυς Νικήτα ταῖς σαῖς πρεσβείαις πάσης βλάβης καὶ πειρασμῶν καὶ κακώσεων, τοὺς ἐκζητοῦντας τὴν θείαν σου προστασίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ......

Ἦχος β΄ *Πρεσβεία θερμή.*

Πολλὴν πρὸς Χριστόν, ὡς ἔχων οἰκειότητα, Νικήτα σοφέ, καὶ παῤῥησίαν Ἅγιε, ἀπαύστως καθικέτευε, τοῦ διδόναι ἡμῖν θεῖον ἔλεος, καὶ ἐν εἰρήνῃ ἀνύειν ἀεί, πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

Ὠδὴ δ΄. *Εἰσακήκοα Κύριε.*

Νοσημάτων τὴν ἴασιν, καὶ τῶν ἐν τῷ βίῳ δεινῶν τὴν λύτρωσιν, δίδου Ἅγιε ἑκάστοτε, τοῖς θερμῶς προστρέχουσι τῇ σκέπῃ σου.

Ὡς τὴν φλόγα ὑπέμεινας, Μάρτυς δι᾿ ἀγάπην τοῦ ἀθλοθέτου σου, οὕτω ἅπασαν κατάφλεξον καθ᾿ ἡμῶν μανίαν τοῦ ἀλάστορος.

Νεκρωθεὶς τοῖς παθήμασι, τῇ σῇ καταφεύγω πρεσβείᾳ Ἅγιε·ζώωσόν με ἱκετεύω σε, τῇ ζωοποιῷ σου Μάρτυς χάριτι.

*Θεοτοκίον.*

Ἰησοῦν τὸν Φιλάνθρωπον, καὶ Σωτῆρα πάντων Κόρη κυήσασα, σῶσον ἄκτειρον με δέομαι, τὸν βεβυθισμένον πλημμελήμασι.

Ὠδὴ ε΄. *Φώτισον ἡμᾶς.*

Κλέος Ἀθλητῶν, σὺν αὐτοῖς Νικήτα πρέσβευε, δωρηθῆναι ἱλασμὸν ἁμαρτιῶν, τοῖς ἐν πίστει τῷ ναῷ σου καταφεύγουσι.

Ἤσχυνας ἐχθρόν, τῇ στεῤῥᾷ Μάρτυς ἀθλήσει σου·διὸ ῥῦσαι με αἰσχύνης τῶν παθῶν, καὶ ποικίλων ὦ Νικήτα περιστάσεων.

Τοὺς τῷ σῷ ναῷ, καταφεύγοντας ἑκάστοτε, ῥύου πάσης ἐν τῷ βίῳ συμφορᾶς, καὶ παράσχου τούτοις Μάρτυς τὰ αἰτήματα.

*Θεοτοκίον.*

Ἄχραντε Ἁγνή, Θεοτόκε Ἀειπάρθενε, τὴν χρανθεῖσαν μου ψυχὴν ταῖς ἡδοναῖς, ἀποκάθαρον τοῖς ῥείθροις τοῦ ἐλέους σου.

Ὠδὴ *στ'. Τὴν δέησιν.*

Δυνάμει, τῇ θεϊκῇ ἀριστεύσας, νικητὴς κατά τῆς πλάνης ἐδείχθης· ὅθεν ἡμᾶς χαλεπῶς νικηθέντας, ὑπὸ παθῶν ἐπηρείᾳ τοῦ ὄφεως, ἐξέγειρον καὶ πρὸς ζωήν, μετανοίας Νικήτα ὁδήγησον.

Ἰάσεις, παντοδαπὰς ἀναβλύζων, θεραπεύεις τῶν ψυχῶν καὶ σωμάτων, Μεγαλομάρτυς Νικήτα τὰς νόσους, καὶ ἀπελαύνεις ἀκάθαρτα πνεύματα, ὧν τῆς μανίας τῆς πικρᾶς, ἀνωτέρους ἡμᾶς διαφύλαττε.

Δεήσει, καὶ ἱκεσίᾳ συντόνῳ οἱ τῇ θείᾳ προσελθόντες Μονῇ σου, τῇ ἐπεμβάσει σου Μάρτυς Νικήτα, ἐπιδρομῆς τῶν βαρβάρων ἐῤῥύσθησαν· καὶ νῦν ἡμᾶς ἐπιδρομῆς, ἀοράτων λῃστῶν ἐλευθέρωσον.

*Θεοτοκίον.*

Ὁ θρόνος, τοῦ Βασιλέως τῆς δόξης, τὸ παλάτιον τὸ μέγα Κυρίου, θεοχαρίτωτε Κόρη Παρθένε, τὴν ῥυπωθεῖσαν ψυχήν μου καθάρισον, καὶ σκεῦος ταύτην ἀρετῶν, διὰ βίου ἀμέμπτου ἀνάδειξον.

Διάσωσον Μεγαλομάρτυς Νικήτα ταῖς σαῖς πρεσβείαις, πάσης βλάβης καὶ πειρασμῶν καὶ κακώσεων, τοὺς ἐξαιτοῦντας τὴν θείαν σου προστασίαν.

Ἄχραντε ἡ διὰ λόγου......

### Αἴτησις καὶ Κοντάκιον.

Ἦχος β΄. *Τοῖς τῶν αἱμάτων σου.*

Ὡς Ἀθλητὴς τοῦ Σωτῆρος ἀήττητος, Μεγαλομάρτυς Νικήτα μακάριε, θερμὸς ἀντιλήπτωρ καὶ ἔφορος, ἡμῖν ἐδόθης παρέχων ἑκάστοτε, ταχεῖαν βοήθειαν Ἅγιε.

### Προκείμενον.

Θαυμαστὸς ὁ Θεός........

Στίχ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ.......*

Εὐαγγέλιον Μαρτυρικόν.

*Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου.........*
*Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου .........*

Προσόμοιον.

Ἦχος πλ.β΄. *Ὅλην ἀποθέμενοι.*

Στίχ. Ἐλέησόν με ὁ Θεός......

Νίκης τὸ ἀμάραντον, Μάρτυς διάδημα φέρων, καὶ ταῖς ὑπὲρ ἔννοιαν, θεϊκαῖς ἐλλάμψεσιν αὐγαζόμενος, σκοτασμοῦ λύτρωσαι, παθῶν ἀκαθάρτων, καὶ δαιμόνων ἀμαυρώσεως ταῖς φωτοφόροις σου, Ἅγιε Νικήτα δεήσεσι, καὶ τῷ φωτὶ πορεύεσθαι, τῶν διαταγμάτων τοῦ Κτίσαντος, ἡμᾶς Ἀθλοφόρε, ἐνίσχυσον ὡς ἂν ἐν ἀρεταῖς, πολιτευθῶμεν καὶ τύχωμεν, τῆς ζωῆς τῆς κρείττονος.

www.tezaurliturgic.ro

Ὁ Ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου......

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Οἱ τῇ θείᾳ Μονῇ σου, Ἀθλοφόρε Νικήτα πιστῶς προστρέχοντες, τῆς σῆς καταξιοῦνται, ταχείας προστασίας, καὶ τὴν λύσιν εὑρίσκουσι, τῶν ἐν τῷ βίῳ κακῶν, ὑμνοῦντες σου τὴν χάριν.

Ὑπὸ πάντων Νικήτα, ἡ δοθεῖσα σοι χάρις διαβεβόηται· καθ' ὕπνον γὰρ ἐπέστης, καὶ τὸν λαιμὸν ἰάσω, τοῦ παιδὸς δεινῶς πάσχοντος· ὅθεν κἀμὲ θλιβερῶν, ἀῤῥωστημάτων ῥῦσαι.

Γνώμην ἔνθεον δίδου, καὶ εὐθεῖαν καρδίαν καὶ νοῦν θεόφρονα, εἰρήνην ἐν τῷ βίῳ, καὶ ἄφεσιν πταισμάτων, θεοδέκτοις πρεσβείαις σου, Νικήτα θαυματουργέ, τοῖς σὲ ὑμνολογοῦσι.

Θεοτοκίον.

Ἐξ ἀφθόρου γαστρός σου, ὁ τῶν ὅλων Δεσπότης σάρκα προσείληφε, καὶ ὤφθη τοῖς ἐν κόσμῳ, ὡς οἶδεν φιλανθρώπως, διασώζων τοὺς ψάλλοντας· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Τὸν Βασιλέα.

Ῥῶσιν παράσχου, κατά ψυχὴν τε καὶ σῶμα, ἡμῖν Ἅγιε ὡς πάλαι ἐξιάσω, τὴν συνεχομένην, κακίστῃ ἀσθενείᾳ.

Ἄνθρωπον πάλαι, τοῦ χαλεποῦ δαιμονίου, ἐθεράπευσας Νικήτα Ἀθλοφόρε· καὶ νῦν ἡμᾶς ῥῦσαι, δεινῶν πειρατηρίων.

Σῇ ἐπικλήσει, ὡς τοῦ κρημνοῦ διασώζεις, τὸ κοράσιον θαυματουργὲ Νικήτα, οὕτω κἀμὲ σῶζε, ἀπὸ παντὸς κινδύνου.

Θεοτοκίον.

Μόνη Παρθένε, ἡ τὸν Θεὸν τετοκυῖα, νοσημάτων με τῶν ἀκαθάρτων ῥῦσαι, καὶ ἐν μετανοίᾳ, ἐνίσχυσον βιοῦν με.

Ὠδὴ θ'. *Κυρίως Θεοτόκον.*

Ὁ μέγας Ἀθλοφόρος, ἔνδοξε Νικήτα, μὴ διαλίπῃς πληροῦν ὡς φιλάγαθος, τὰς ἱκεσίας τῶν πίστει προσερχομένων σοι.

Ὑπάρχων πλήρης δόξης, τῆς ἐπουρανίου, ἐξ ἀδοξίας παθῶν ἐλευθέρωσον, τοὺς ἀδιστάκτῳ καρδίᾳ σε μεγαλύνοντας.

Ὑψόθεν μὴ ἐλλίπῃς, νοερῶς διδόναι, τῆς θαυμαστῆς σου πρεσβείας μακάριε, τοὺς σε τιμῶσι Νικήτα χάριν τὴν ἄφθονον.

*Θεοτοκίον.*

Ὑψίστου ἡ καθέδρα, Ἄχραντε Παρθένε, ἀπὸ κοπρίας παθῶν με ἀνύψωσον, πρὸς ἀρετῶν ἐπιδόσεις ἵνα δοξάζω σε.

## ΤΟ ΑΞΙΟΝ ΕΣΤΙ ΚΑΙ ΤΑ ΜΕΓΑΛΥΝΑΡΙΑ

Χαίροις ὦ Νικήτα Μάρτυς Χριστοῦ, ὁ ἀνδραγαθήσας, ἐν ἀθλήσει περιφανῶς· χαίροις Ἀθλοφόρων, ἀγλάϊσμα καὶ κλέος, ἡμῶν δὲ ἀντιλήπτωρ ὁ ἑτοιμότατος.

Ἤθλησας Νικήτα μαρτυρικῶς, καὶ τῆς ἀσεβείας, καταβέβληκας τὴν ἰσχύν, καὶ ὡς θῦμα θεῖον, Κυρίῳ προσηνέχθης, διὰ πυρὸς τελείας Μάρτυς τὸν δρόμον σου.

Χαίροις ὀρθοδόξων ὁ βοηθός· χαίροις τῆς Μονῆς σου, τεῖχος θεῖον καὶ ἀρωγός· χαίροις ὁ θαυμάτων, δυνάμεσιν ἐκλάμπων, τῇ Ἐκκλησίᾳ πάσῃ, Νικήτα ἔνδοξε.

Στάζει ὡς ἁγίασμα μυστικόν, ἔνδον τοῦ ναοῦ σου, τῇ τοῦ Πνεύματος δωρεᾷ, ὕδωρ ἐκ τῆς πέτρας, θαυματουργὲ Νικήτα, πιστοὺς καθαγιάζον τῇ θείᾳ χάριτι.

Χαίροις ἀσθενούντων ὁ ἰατήρ· χαίροις ὁ παρέχων, τοῖς αἰτοῦσι τὴν δωρεάν· χαίροις ἀκαθάρτων, πνευμάτων ὁ διώκτης, Νικήτα Ἀθλοφόρε, ἡμῶν βοήθεια.

Σκέπε ὦ Νικήτα θαυματουργέ, τῇ σῇ ἀντιλήψει, τὴν Μονήν σου τὴν ἱεράν, καὶ τῶν σὲ τιμώντων, προσδέχου τὰς δεήσεις καὶ δίδου τούτοις Μάρτυς, τὴν προστασίαν σου.

Πᾶσαι τῶν Ἀγγέλων ........

Τὸ **Τρισάγιον**, τὰ συνήθη τροπάρια,

Ἐκτενὴς καὶ ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς.

Ἦχος β'. *Ὅτε ἐκ τοῦ ξύλου......*

Νίκης ὡς ἐπώνυμος σοφέ, δίδου ἡμῖν δύναμιν θείαν, ταῖς ἱκεσίαις σου, τοῦ νικᾶν ἑκάστοτε, τὰς τοῦ ἐχθροῦ προσβολάς, καὶ παθῶν ἐλευθέρωσον, καὶ ἀσθενημάτων, ψυχῆς τε καὶ σώματος, Νικήτα ἔνδοξε, πάντας τοὺς προστάτην σε θεῖον, ἐπιγραφομένους παμμάκαρ, καὶ θερμὸν μεσίτην πρὸς τὸν Κύριον.

Δίστιχον

*Νικητὴν ἀνάδειξον κατά παθῶν με*
*Νικήτα Γεράσιμον τὸν σὲ ὑμνοῦντα.*

www.tezaurliturgic.ro

Κ.Δ.Χ

## ΤΑ ΑΠΟΛΥΤΙΚΙΑ ΤΟΥ ΑΓΙΟΥ

Ἦχος δ' *Ταχὺ προκατάλαβε.*

Ὁ Μάρτυς σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχων γὰρ τὴν ἰσχὺν σου, τοὺς τυράννους καθεῖλεν· ἔθραυσε καὶ δαιμόνων τὰ ἀνίσχυρα θράση. Αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ' *Ταχὺ προκατάλαβε.*

Ὁ μέγας ἐν ἄρτυσι καὶ ἀθλοφόρος Χριστοῦ, Νικήτας ὁ ἔνδοξος πάντας ἡμᾶς συγκαλεῖ πρὸς τράπεζαν ἄϋλον. Δεῦτε οὖν εὐφρανθῶμεν, πάντες εὐσεβοφρόνως, ᾄσμασι θεηγόροις τοῦτον ἀνευφημοῦμεν· καὶ πίστει ἐκδυσωποῦντες, πρεσβεύειν ἀπαύστως, ὑπὲρ πάντων ἡμῶν.

Ἦχος α' *Τοῦ λίθου σφραγισθέντος*

Νικήσας τῶν βαρβάρων, ἀθλοφόρε, τὴν ἔφοδον, τοῦ Σταυροῦ τῇ δυνάμει ἀηττήτῳ τὸ ὕστερον. Δαιμόνων κατέβαλες ὀφρύν, γενναίᾳ τῇ ἐνστάσει σου σοφέ, καὶ νικήσας ὦ Νικήτα βραβεῖα εἴληφας νίκης ἀξίως. Δόξα τῷ σὲ ἰσχύσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ τῇ σεπτῇ σου ἀεὶ μνήμῃ δοξάσαντι.

Ἦχος γ' *Θείας πίστεως*

Νίκην ἔστησας, κατά τῆς πλάνης, νίκης εἴληφας, ἄφθαρτον γέρας, ἐπαξίως Νικήτα φερώνυμε· σὺ γὰρ νικήσας ἐχθρῶν τὴν παράταξιν, διὰ πυρὸς τὸν ἀγῶνα ἐτέλεσας. Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἦχος α' *Τοῦ λίθου σφραγισθέντος.*

Νικήσας ὦ Νικήτα τῶν βαρβάρων θρασύτητα, ἀπτοήτως εἰσῆλθες πρὸς τὸ στάδιον χαίρων, καὶ ᾔσχυνας ἀνόμων τὰς βουλάς, γενναίᾳ τῇ ἐνστάσει σου σοφέ, καὶ τελέσας τὸν ἀγῶνα, διὰ πυρὸς ἦρας νίκης βραβεῖα. Δόξα τῷ ἐνισχύσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐν κινδύνοις ἡμῶν προστάτην δείξαντι.